# 27 IULIE

# AGHIASMA MICA SF.MARE MUCENIC PANTELIMON DE LA NICOMIDIA

www.tezaurliturgic.ro



# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΜΙΚΡΟΥ ΑΓΙΑΣΜΟΥ ΤΟΥ ΑΓΙΟΥ ΠΑΝΤΕΛΕΗΜΟΝΟΣ

*(Ποίημα Χαραλάμπους Μπούσια)*

Εὐλογήσαντος τοῦ ἱερέως, τὸ *Κύριε εἰσάκουσον*, μεθ᾽ ὁ τὸ *Θεὸς Κύριος*, ὡς συνήθως, καὶ τὸ ἑξῆς: Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῷ ἰατῆρι ἀνιάτως νοσούντων· καὶ ἐκμαγείῳ ἐν Χριστῷ εὐσεβείας· περιχαρῶς προσπέσωμεν βοῶντες αὐτῷ· μάρτυς ἀκατάβλητε, μαθητὰ Ἑρμολάου· εὐψυχίας ἔρεισμα καὶ ἀκρότης σοφίας· Παντελεῆμον, πάνυ συμπαθῶς· τῶν σὲ τιμώντων ἐντεύξεις εἰσάκουσον.

*Δόξα.*

Νικομηδείας τὸν θεσπέσιον γόνον· καὶ ἀθλητῶν τὸν τιμαλφέστατον ὄλβον· στεῤῥὸν Παντελεήμονα, πιστοί, ἐν χορῷ· δεῦτε, προσκυνήσωμεν καὶ κραυγάσωμεν· σπεῦσον· ταῖς ἡμῶν ἐντεύξεσι καὶ ἰάσεων ῥεῖθρα· ὡσεὶ θεράπων πάντων ταχινός· τοῖς σὲ ἀσμένως τιμῶσιν ἐπόμβρισον.

*Καὶ νῦν.*

Ού σιωπήσομεν πότε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι. Εἰ μὴ γὰρ σὺ προίστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο έκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Ούκ άποστῶμεν, Δέσποινα, έκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις άεὶ έκ παντοίων δεινῶν.

Ὁ Ν᾽ Ψαλμὸς καὶ τὰ ἐξῆς κατ᾽ ἀλφάβητον τροπάρια.

*Ἦχος πλ. β΄. Ὁ Εἱρμός.*

Ἡ τὸ χαῖρε δι᾽ ἀγγέλου δεξαμένη· καὶ τεκοῦσα τὸν Κτίστην τὸν ἴδιον· Παρθένε, σῴζε· τοὺς σὲ μεγαλύνοντας. *(δίς).*

*Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἀγαλλίαμα, κλεινὲ Παντελεῆμον· ἀθλοφόρων μὴ παύσῃ δεόμενος· ὑπὲρ τῶν πίστει· τιμώντων τὴν μνήμην σου.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Βασιλέων, Προφητῶν καὶ Ἀποστόλων· καὶ Μαρτύρων ὑπάρχεις τὸ καύχημα· καὶ προστασία· τοῦ κόσμου, Πανάμωμε.

*Ἅγιε τὸν Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Γηθοσύνως τοὺς σοὺς ἄθλους μελῳδοῦντες· γενναιότατε μάρτυς τῆς πίστεως· Παντελεῆμον· τῇ σκέπῃ σου σπεύδομεν.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Δός, Χριστέ μου, καὶ ἐμοὶ τῷ ἀναξίῳ· ὀφλημάτων τὴν ἄφεσιν, δέομαι· τῆς σὲ τεκούσης ·πρεσβείαις ὡς εὔσπλαγχνος.

*Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Εὐστοργίου καὶ Εὐβούλης θεῖε γόνε· ἐκ κινδύνων ἡμᾶς ἀπολύτρωσαι· Παντελεῆμον· εὐχαῖς σου πρὸς Κύριον.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Ζώωσόν με, ἡ τεκοῦσα Ζωοδότην· καὶ Σωτῆρα, καὶ σῶσον πρεσβείαις σου· εὐλογημένη· ἐλπὶς τῶν ψυχῶν ἡμῶν.

*Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἡλιόφωτε βλαστὲ Νικομηδείας· ἀναθάλλειν ἡμᾶς καταξίωσον· τῆς εὐσεβείας ἡδύπνοα λείρια.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Θεοτόκε, ἡ τεκοῦσα διὰ λόγου· ὑπὲρ λόγον, τὸν Λόγον, Πανύμνητε· αὐτὸν δυσώπει· σῶσαι τὰς ψυχὰς ἡμῶν.

*Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἰατρεῖον ἀσθενούντων ἀνιάτως· ἐπομθεὶς πᾶσαν νόσον ἀπέλασον· Παντελεῆμον· τῶν ἀνευφημούντων σε.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Κατὰ χρέος ἐκβοῶμέν σοι τὸ, Χαῖρε· Θεοτόκε, Ἁγνὴ Ἀειπάρθενε· ἐκδυσωποῦντες· πρεσβείαις σου σῴζεσθαι.

*Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Λαμπηδόσιν ἐνάρετου πολιτείας· Νικομήδειαν, μάρτυς, ἐφώτισας· καὶ νῦν αὐγάζεις ψυχὰς τῶν τιμώντων σε.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Μὴ παρίδῃς τὰς δεήσεις τῶν σῶν δούλων· δυσωποῦμεν, Πανύμνητε Δέσποινα· ἵνα ῥυσθῶμεν, πάσης περιστάσεως.

*Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Νικητής, Παντελεῆμον, ἐν ταῖς μάχαις· κατ᾽ ἀπίστων φανεὶς νίκας δώρησαι· κατὰ τοῦ πλάνου· ἡμῖν τοῖς ὑμνοῦσί σε.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Ξένον θαῦμα τὸ ἐν σοι, Θεοκυῆτορ· δι᾽ ἡμᾶς γὰρ καθ᾽ ἡμᾶς γεγέννηται· ὁ πάντων Κτίστης· ἐκ σοῦ καὶ Θεὸς ἡμῶν.

*Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ὁπλισθεὶς τᾶις Ἑρμολάου νουθεσίαις· σκεῦος πίστεως γέγονας πάγχρυσον· κιρνῶν ἰάσεις, σοφέ, τοῖς ἱκέταις σου.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Παναγία Θεοτόκε, ἡ τεκοῦσα· τὸν Σωτῆρα, κινδύνων διάσωσον· καὶ πάσης ἄλλης· ἀνάγκης τοὺς δούλους σου.

*Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ῥύστην τάχιστον, κλεινὲ Παντελεῆμον· ἀρωγὸν καὶ φρουρὸν σὲ κεκτήμεθα· ἐν τοῖς τοῦ βίου· δεινοῖς, συμπαθέστατε.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Σῶσον πάντας τᾶις πρεσβείαις σου, Παρθένε· τοὺς είς σέ, Θεοτόκε, προστρέχοντας· καὶ ῥῦσαι πάσης· ἀνάγκης καὶ θλίψεως.

*Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Τῶν βασάνων ἐνεγκών, Παντελεῆμον τὴν πληθὺν χάριν εὗρες ἀέναον· Χριστῷ πρεσβεύειν· ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Ὑπὸ πάντων δυσωπούμενος, Οἰκτῖρμον· τῶν Ἁγίων καὶ τῶν ἄνω τάξεων· ἱλάσθητί μοι· διὰ τῆς τεκούσης σε.

*Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Φέρων ἔκτμησιν τῆς κάρας σου γενναίως· ἀθληταῖς ἠριθμήθης, τρισόλβιε· καὶ νῦν αἰτήσεις· πληροῖς τῶν τιμώντων σε.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Χαῖρε κόσμου ἱλαστήριον, Παρθένε· χαῖρε στάμνε λυχνία τε πάγχρυσε· τοῦ θείου μάννα· καὶ φωτός, Θεόνυμφε.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Θεοτόκε, ἡ τεκοῦσα διὰ λόγου, ὑπὲρ λόγον, τὸν Λόγον, Πανυμνητε, αὐτὸν δυσώπει σῶσαι τὰς ψυχὰς ἡμῶν.

*Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἰατρεῖον ἀσθενούντων ἀνιάτως ἐποφθεὶς πᾶσαν νόσον ἀπέλασον, Παντελεῆμον, τῶν ἀνευφημούντων σε.

*Τριαδικόν.*

Ψυχικήν, Τριὰς ἁγία, εὐρωστίαν· Πάτερ, Λόγε καὶ Πνεῦμα πανάγιον· τῷ πολυστήνῳ· παράσχου ἱκέτῃ σου.

*Θεοτοκίον.*

Ὢ Παρθένε, ἡ τεκοῦσα τὸν Σωτῆρα· καὶ Δεσπότην τοῦ κόσμου καὶ Κύριον· αὐτὸν δυσώπει· σῶσαι τὰς ψυχὰς ἡμῶν.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Τῆς ἀσπίλου σοῦ μητρός, Χριστὲ Οἰκτῖρμον· ἱκεσίαις ὁμίχλην ἀπέλασον· πολέμου πᾶσιν· εἰρήνην δωρούμενος.

*Σταυρὲ τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ δυνάμει σου.*

Τῇ δυνάμει τοῦ Ζωοποιοῦ Σταυροῦ σου τοῦ καυχήματος πάντων τῶν δούλων σου· Ἐσταυρωμένε· τὰ πάθη μου νέκρωσον.

*Ἅγιοι Ἀρχάγγελοι καὶ Ἄγγελοι, πρεσβεύσατε ὑπὲρ ἡμῶν.*

Τῶν Ἀΰλων σου ταγμάτων ἱκεσίαις· τῶν κυκλούντων τὸν θρόνον σου, Κύριε· ἀξίωσόν με· τυχεῖν τοῦ ἐλέους σου.

*Ἅγιε Ἰωάννη Πρόδρομε, πρέσβευε ὑπὲρ ἡμῶν.*

Τοῦ ἐν ῥείθροις Ἰορδάνου ἀψαμένου· κεφαλήν σου τὴν πάντιμον, Ἄχραντε· Προδρόμου, ῥύπου· κακίας μὲ κάθαρον.

*Ἅγιοι Ἀπόστολοι, πρεσβεύσατε ὑπὲρ ἡμῶν.*

Τῶν ἐνδόξων Ἀποστόλων ἱκεσίαις· τῶν πανσόφων δειχθέντων σῇ χάριτι· δεῖξόν μοι τρῖβον, Χριστε, τὴν σωτήριον.

*Ἅγιοι Ἀνάργυροι, πρεσβεύσατε ὑπὲρ ἡμῶν.*

Ὑγιαίνειν καταξίωσον σοὺς δούλους· Ἀναργύρων, Χριστέ, ταῖς δεήσεσι· τῶν προχεόντων· ἀφθόνως ἰάματα.

*Ἅγιοι Προπάτορες, πρεσβεύσατε ὑπὲρ ἡμῶν.*

Τῶν Ἁγίων καὶ δικαίων Προπατόρων· τὴν ὑγείαν μοι πορίζε, Δέσποτα· θερμαῖς πρεσβείαις· καὶ σῶσόν με, δέομαι.

*Δόξα. Τριαδικόν.*

Τὴν ὑπέρτιμον Τριάδα προσκυνοῦντες· τὸν Πατέρα, Υἱὸν καὶ τὸ ἅγιον· Πνεῦμα βοῶμεν· χαρᾶς πάντας πλήρωσον.

*Καὶ νῦν. Θεοτοκίον.*

Θεοτόκε, τῶν πιστῶν παραμυθία· ἡ ἐν χρόνῳ τὸν Ἄχρονον τέξασα· Αὐτὸν δυσώπει· ὑπὲρ τῶν ὑμνούντων σε.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσωμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ὁ Ἱερεύς: *Τοῦ Κυρίου δεηθῶμεν. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν...*

*Εἶτα τὰ παρόντα τροπάρια. Ἦχος πλ. δ΄.*

Νῦν ἐπέστη ὁ καιρός, ὁ πάντας ἁγιάζων· καὶ ὁ δίκαιος ἡμᾶς ἀναμένει Κριτῆς· ἀλλ΄ ἐπίστρεψον, ψυχή, πρὸς μετάνοιαν· ὡς ἡ πόρνη κράζουσα σὺν δάκρυσι· Κύριε, ἐλέησόν με.

Νάμασιν ἐμπομβρήσας· Χριστέ, πηγὴν τῶν ἰάσεων· ἐν τῷ πανσέπτῳ ναῷ· τῆς Παρθένου σήμερον· τῷ τῆς σῆς εὐλογίας ῥαντισμῷ· φυγαδεύεις τὰς νόσους τῶν ἀσθενούντων· ἰατρὲ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Παρθένος ἔτεκες, ἀπειρόγαμε· καὶ Παρθένος ἔμεινας, Μῆτερ ἀνύμφευτε· Θεοτόκε Μαρία· Χριστὸν τὸν Θεὸν ἡμῶν ἱκέτευε σωθῆναι ἡμᾶς.

Παναγία, Θεοτόκε Παρθένε, τῶν χειρῶν ἡμῶν τὰ ἔργα κατεύθυνον· καὶ συγχώρησιν τῶν πταισμάτων ἡμῶν αἴτησαι· ἐν τῷ ψάλλειν ἡμᾶς· τῶν Ἀγγέλων τὸν ὕμνον.

*Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.* (δίς)

Ὁ Ἀπόστολος.

Προκείμενον. Ἦχος δ: *Κύριος φωτισμός μου καὶ Σωτήρ μου,*

Στ.: *Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.*

*Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. (β΄ 11-18).*

Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες· δι΄ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς

καλεῖν λέγων· Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε· καὶ πάλιν· Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ᾽ αὐτῷ. Καὶ πάλιν· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργηση τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τούτεστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς Ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν, εἰς τὸ ἱλασκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Ἀλληλούϊα. Ἦχος πλ.β΄ .
Στίχος: *Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.*

*Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα. (ε΄, 1-4)*

Τῷ καιρῷ ἐκείνῳ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. Ἔστη δὲ ἐν τοῖς Ἱεροσολύμοις, ἐπὶ τῇ Προβατικῇ κολυμβήθρα, ἡ ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδά, πέντε στοὰς ἔχουσα. Ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν. Ἄγγελος γὰρ

κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ καὶ ἐτάραττε τὸ ὕδωρ· ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος ὑγιὴς ἐγίνετο, ᾧ δήποτε κατείχετο νοσήματι.

Καὶ εὐθύς: *Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.*
Καὶ τὰ τοῦ Μικροῦ Ἁγίασμου.
Εἶτα ἀσπάζεται ὁ Ἱερεὺς τὸν Τίμιον Σταυρὸν ὡσαύτως καὶ πᾶς ὁ λαός, ἡμεῖς δὲ ψάλλομεν: Ἰδιόμελον. Ἦχος δ΄.
Κρουνὸν δωρεῶν ἀστείρευτον, ἀθλητά, σὲ ἔγνωμεν τοῖς πιστοῖς ἐπομβρίζοντα νάματα ἰαμάτων. Ἀναργύρως σὺ γὰρ νόσους ἀπελαύνεις δυνάμει τοῦ Σωτῆρος Χριστοῦ καὶ Κυρίου ἡμῶν, δι΄ ὃν ὄμβρους αἱμάτων γηθοσύνως ἐξέχεας· ἱκετῶν σου οὖν δεήσεις μὴ παρίδῃς, ἀλλὰ κλῖνον οὖς εὐήκοον καὶ εἰσάκουσον ἡμῶν, Παντελεῆμον, ἀθλοφόρε τῆς πίστεως γενναῖε, ἵνα εἰς αἰῶνα εὐλαβῶς γεραίρωμεν τοὺς ἄθλους σου καὶ τὴν θείαν μνήμην σου καταστέφοντες ᾄσμασιν ἀναπέμπωμεν δόξαν τῷ λαμπρῶς σὲ θαυμαστώσαντι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Νεῦσον παρακλήσεσι σῶν ἱκετῶν, Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ καὶ βεβαίαν ἄγκυραν ἔχομεν καὶ τὴν σὴν προστασίαν κεκτήμεθα· μὴ αἰσχυνθῶμεν, Δέσποινα, σὲ προσκαλούμενοι. Σπεῦσον εἰς ἱκεσίαν τῶν σοι πιστῶς

βοώντων· Χαῖρε, Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.
Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

*Εἶτα Ἐκτενὴς καὶ μικρὰ Ἀπόλυσις.*